# TEZAUR LITURGIC

## 19 APRILIE

## HARALAMBOS BOUSIA

# PARACLISUL SF.CUVIOASE MATRONA NIKONOVA DE LA MOSCOVA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΜΑΤΡΩΝΑ ΡΩΣΣΙΔΑ ΟΣΙΑ ΑΟΜΜΑΤΗ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὴν ἐν Ῥωσίᾳ διαλάμψασαν ἄρτι, ὑπομονῇ ἐν τοῖς ἑκάστοτε πόνοις, ἀγάπῃ πρὸς τοὺς πάσχοντας καὶ πρὸς τὸν Θεόν, ταπεινώσει μέλψωμεν, ἀπαθείᾳ καὶ νήψει, μελιῤῥύτοις ᾄσμασι, θεοφόρον Ματρώναν, αὐτῆς λιτὰς ἀόκνους εὐλαβῶς, πρὸς τὸν Δεσπότην Χριστὸν ἐξαιτούμενοι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ματρῶνα, λιταῖς σου, σκότη μου διάλυσον. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ματρώνα δικαίως ὑπὸ σεπτοῦ, ἡ ὀνομασθεῖσα, στῦλος ὄγδοος ἀχανοῦς, Ῥωσίας Κρονστάνδης Ἰωάννου, ἐν εὐσεβείᾳ ἡμᾶς πάντας στήριξον.

Ἁγίασον πάντας σε εὐλαβῶς, Ματρώνα τιμῶντας, ὥσπερ κρήνην ἁγιασμοῦ, θεόβρυτον καὶ πηγὴν θαυμάτων, τὴν ἐν Ῥωσίᾳ ἀρτίως ἐκβλύσασαν.

Τοῦ κόσμου ἀσκήτρια θαυμαστή, Ματρώνα Ὁσία, δυσχειμέροις ἐν τοῖς καιροῖς, δεινῆς ἀθεΐας ἐν Ῥωσίᾳ, ἡ διαλάμψασα ῥῦσαί με θλίψεων.

*Θεοτοκίον.*

Ῥοαῖς Μητροπάρθενε ῥυπτικῶν, εὐχῶν σου πρὸς Κτίστην, καὶ Υἱόν Σου ἡμῶν παθῶν, κατάσβεσον φλόγα χαμαιζήλων, Θεογεννῆτορ μερόπων διάσωσμα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὡς πυξίον σοφίας καὶ ἀρετῆς μέλψομεν, σὲ τῶν εὐσεβῶν αἱ χορεῖαι, χάριτος σκήνωμα, Ματρώνα καὶ δωρεῶν, παντοδαπῶν ἐκμαγεῖον, οἱ ἐν δίναις σπεύδοντες, τῇ μεσιτείᾳ σου.

Νῦν ἀόμματε Μῆτερ ἡ τῆς ψυχῆς ὄμματα, ἔχουσα σαφῶς ἐστραμμένα, πρὸς τὸν οὐράνιον, Νυμφίον καὶ Λυτρωτήν, Ματρώνα ἄνοιξον κόρας, τὰς ἡμῶν θεάσασθαι, τὰ ὑπὲρ ἔννοιαν.

Ἀσκουμένων γυναίων θεοειδὲς ἔκτυπον, ἡ ὀφθεῖσα Πνεύματος θείου, κατοικητήριον, τῷ σῷ Νυμφίῳ Χριστῷ, Ματρώνα πρέσβευε σῶφρον, δοῦναι τοῖς τιμῶσί σε, χάριν καὶ ἔλεος.

*Θεοτοκίον.*

Λυμεῶνος ἀΰλου γένους βροτῶν Δέσποινα, κεχαριτωμένη Μαρία, θεία ὀλέτειρα, ἐξ ἐπηρείας αὐτοῦ, ἀπάλλαξόν με ἐν τάχει, τὸν ψυχῇ καὶ χείλεσι, Σὲ μακαρίζοντα.

Διάσωσον, ἀπὸ κινδύνων Ματρώνα τοὺς σὲ τιμῶντας, ὡς νεόφωτον ἀρετῶν παντοίων ἀπαύγασμα, καὶ ἄστρον πρὸς στένοντας συμπαθεία.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τὴν ὑπομονῇ καὶ ταπεινώσει λάμψασαν, ἐν χρόνοις δεινοῖς Ῥωσίας ἀνυμνήσωμεν, ἀσκήτριαν κράζοντες· τιμαλφὲς ἀρετῶν ἀνακτόριον, Ματρώνα χάριν εὕρηκας Χριστῷ, πρεσβεύειν ὑπὲρ τῶν εὐφημούντων σε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἱκετῶν εἰς βοήθειαν, σπεῦσον σῶν Ματρώνα θεοχαρίτωτε, σαρκοφόρος ὥσπερ ἄγγελος, ἐν Ῥωσίᾳ ἄρτι διαλάμψασα.

Ταπεινώσεως σκήνωμα, καὶ εἰκὼν πανεύφημε προοράσεως, τήρει πάντας τοὺς τιμῶντάς σε, ἐν ὑπομονῇ καὶ νήψει πάντοτε.

Ἀσινεῖς διατήρησον, νόσων κατωδύνων τοὺς ἐκζητοῦντάς σου, τὰς πρεσβείας πρὸς τὸν Ὕψιστον, θεαυγὲς Ματρώνα ὑπερένδοξε.

*Θεοτοκίον.*

Ἱλαστήριον ἄμεσον, κόσμου ἀπολύτρωσαι Μητροπάρθενε, τοὺς πιστῶς Σε μακαρίζοντας, καὶ ἐκδεχομένους τὴν Σὴν εὔνοιαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σοῦ τὴν εὐαγῆ, πολιτείαν ἀναμέλποντες, ἐν τῷ κόσμῳ ἐξαιτούμεθα εὐχάς, πρὸς τὸν Κύριον Ματρώνα τὰς ἀόκνους σου.

Στήριξον ἡμᾶς, ἐν τῇ πίστει τοὺς προστρέχοντας, σῇ Ματρώνα γεραρὰ ἐπισκοπῇ, καὶ ὑμνοῦντάς σε ὡς στῦλον θεοφώτιστον.

Ὄλβε τῆς Χριστοῦ, Ἐκκλησίας πολυτίμητε, θησαυρὸν Ματρώνα ὥσπερ τιμαλφῆ, θείας Σκέπης μάνδρα ἔχει τὰ σὰ λείψανα.

*Θεοτοκίον.*

Ὕμνοις Σε ἀεί, σωτηρίας ὡς κρηπίδωμα, καταστέφομεν βροτῶν Μῆτερ Θεοῦ, καὶ χαρᾶς ἡμῶν ἀλήκτου θείαν πρόξενον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Στηρίζουσα, δῆμον ἐμπερίστατον, δυσχειμέροις ἀθεΐας ἐν χρόνοις, Μῆτερ Ματρώνα οὐκ ἔπαυσας Ῥώσων, ἐπιζητούντων ἀλήθειαν πίστεως, ἡ νῦν στηρίζουσα εὐχαῖς, σαῖς πρὸς Κύριον πάντας ἱκέτας σου.

Κραυγάζειν σοι, εὐσεβῶν ὁμήγυρις, καταφεύγουσα Ματρώνα σῇ σκέπῃ, καὶ ἀκλινῆ προστασία ὑψόθεν, μὴ διαλίπῃς ἡμᾶς ἐποπτεύουσα, Κυρίου νύμφη τοὺς πιστῶς, μελῳδοῦντας ἀσκήσεως πόνους σου.

Ὀμμάτων μου, τῆς ψυχῆς διάνοιξον, θεοφόρητε Ματρώνα τὰς κόρας, τοῦ βλέπειν πάντα συμφέροντα

κράζω, ἡ ἀομμάτως τὸν βίον ἀνύσασα, καὶ παρειμένη ἐν καιροῖς, τοῖς ἐσχάτοις Ῥωσίας ὡράϊσμα.

*Θεοτοκίον.*

Τὴν δέησιν, Θεοτόκε Δέσποινα, ἡ τεκοῦσα ὑπὲρ λόγον τὸν Λόγον, Θεοῦ Ὑψίστου προσδέχου Σου δούλου, πανευμενῶς τοῦ ζητοῦντος τὴν χάριν Σου, καὶ ἀνυμνοῦντος εὐλαβῶς, τοῦ Υἱοῦ Σου καὶ Κτίστην τοῦ σύμπαντος.

Διάσωσον, ἀπὸ κινδύνων Ματρώνα τοὺς σὲ τιμῶντας, ὡς νεόφωτον ἀρετῶν παντοίων ἀπαύγασμα, καὶ ἄστρον πρὸς στένοντας συμπαθεία.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων.*

Τὴν δυναμένην τοῦ Πνεύματος χάριτι, προβλέπειν πάντα ἐσόμενα μέλψωμεν, Ματρώναν Ῥωσίας ἀγλάϊσμα, ὡς γυναικῶν θεαυγῶν ἰσοστάσιον, καὶ κόσμου μεσίτριαν ἔνθερμον.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

*Εὐαγγέλιον. Κατὰ Μάρκον (Κεφ. η΄-θ΄ 1)*

Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες ὧδε τῶν ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Τὴν παραμυθήσασαν, ἐμπεριστάτων χορείας, Ῥώσων ἐν τοῖς ἔτεσι, τοῖς ἐσχάτοις μέλψωμεν, ὕμνοις πρέπουσι, τοῦ Θεοῦ χάριτι, θεαυγῆ Ματρώναν, τὴν ἀόμματον ἀσκήτριαν, ἧσπερ ὁ Κύριος, τῆς ψυχῆς τὰ ὄμματα ἤνοιξεν, ὁρᾶν τὰ ἐν τῷ μέλλοντι, καὶ τῶν

καρδιῶν τὰ ἐνδότερα, καὶ ἐν κατανύξει, κραυγάσωμεν· διάνοιξον ἡμῶν, ψυχῶν εὐχαῖς σου τὰ βλέφαρα, βλέπειν τὰ σωτήρια.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἡ ἐν κόσμῳ ὁσίως καὶ ἀμέμπτως τὸν βίον ἐκδαπανήσασα, Ματρώνα καὶ ἀρθεῖσα, πρὸς δόμους ἀφθαρσίας, μὴ ἐλλίπῃς ἑκάστοτε, ὑπὲρ τῶν σῶν ἱκετῶν, πρεσβεύουσα Κυρίῳ.

Μῆτερ πνευματοφόρε τῆς Ῥωσίας Ματρώνα τὸ νέον σέμνωμα, ἐπάκουσον φωνῆς μου, δεήσεως καὶ ῥῦσαι, συμφορῶν καὶ κακώσεων, καὶ τῆς γεέννης πυρός, τὸν καταφεύγοντά σοι.

Οὐρανόφωτος στήλη ταπεινώσεως Μῆτερ εὐχῆς καὶ νήψεως, ἐπώφθης ἐκ κοιλίας, μητρὸς προορισθεῖσα, καταυγάσαι πυρσεύμασιν, σῶν διδαχῶν τὸν λαόν, ἐν ἀθεΐας χρόνοις.

*Θεοτοκίον.*

Ὑπερύμνητε Μῆτερ Σὴν ἁγίαν εἰκόνα ὡς ὄλβον ἄσυλον, ἐπονομαζομένην, ἁμαρτωλῶν ἁπάντων, σωτηρία ἡ πάνσεπτος, Ματρώνα ἔσχεν παντί, ἐν βίῳ Θεοτόκε.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Δακρυῤῥοοῦντες, τὰς σὰς λιτὰς ἐκζητοῦμεν, οἱ ἐν θλίψεσιν ὄντες Ματρώνα, πρὸς τὸν σὸν Νυμφίον, καὶ Λυτρωτὴν τοῦ κόσμου.

Ἴσθι ἀκέστωρ, τῶν σὲ ὑμνούντων Ματρώνα, ταπεινώσεως ὡς μυροθήκην, καὶ δοχεῖον πλῆρες, ὑπομονῆς ἐν βίῳ.

Ἁγίων νέων, συνηριθμήθης χορείαις· μεθ' ὧν χαίρῃ ἀπαύστως ἐν πόλῳ, καὶ Χριστῷ πρεσβεύεις, ὑπὲρ ἡμῶν Ματρώνα.

*Θεοτοκίον.*

Λειμὼν εὐώδης, Μῆτερ Θεοῦ παρθενίας, καὶ ἡδύπνοος κῆπος ἁγνείας, πέλουσα Σοὺς δούλους, καθήδυνον ὀδμαῖς Σου.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὑπὲρ τῶν σὲ τιμώντων, καὶ ἀσπαζομένων, ἐν τῇ Μονῇ θείας Σκέπης σὰ λείψανα, Χριστὸν δυσώπει Ματρώνα τὸν σὲ δοξάσαντα.

Στηρίζουσα μὴ παύσῃ, στῦλε τῆς Ῥωσίας, τοὺς κλονουμένους Ματρώνα ἑκάστοτε, εὐχῶν σου ῥάβδῳ πρὸς Κτίστην τὸν πανευΐλατον.

Ὀρθοφρονούντων πάντων, Ῥώσων ἀντιλῆπτοε, Ματρώνα πλάνης ὁμίχλην ἐκδίωξον, καὶ τὴν ἀχλὺν τὴν ζοφώδη, λῦσον αἱρέσεων.

Ναὲ χρηστοηθείας, πάγχρυσε Ματρώνα, ναοὺς ἡμᾶς ἐγρηγόρσεως πάντιμε, δεῖξον τοὺς μνήμην τιμῶντας σὴν ἀεισέβαστον.

*Θεοτοκίον.*

Χαρίτων θεοσδότων, κεχαριτωμένη, ἁγνὴ Παρθένε ταμεῖον ἀσύλητον, τοὺς Σὲ γεραίροντας πόθῳ ἀεὶ χαρίτωσον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν ἐν κόσμῳ ἀσκητριῶν, καύχημα Ματρώνα, τῶν ἀσκήσει θεοτερπεῖ, ἀρετῶν εἰς ὕψος, κατάντησάντων μέγα, νεόφυτον Ῥωσίας, ἄνθος ἡδύπνοον.

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς, σοῦ ταῖς ἱκεσίαις, πρὸς τὸν Κύριον Ἰησοῦν, σὸν σεπτὸν Νυμφίον, ἐν οὐρανοῖς Ματρώνα, συντήρει ἐπηρείας, πλάνου ἀπήμονας.

Χαίροις διοράσεως ὁ κανών· χαίροις ἡ ἀκρότης, τῆς ἐν βίῳ ὑπομονῆς· χαίροις τῆς Ῥωσίας, ὁ ὄγδοος ὁ στῦλος, Ματρώνα θεοφόρε, πίστεως πρόβολε.

Χαίροις ἡ ἀόμματος ἐκ γαστρός, ἡ χαριτωθεῖσα, Παρακλήτου αὔραις τερπναῖς· χαίροις συμπαθείας, πρὸς πάσχοντας Ματρώνα, καὶ πρὸς ἐμπεριστάτους, στῦλος ἀκράδανος.

Δίδου τοῖς τιμῶσί σε ἀκλινῶς, εὐκλεὲς Ματρώνα, ἐν τῷ βίῳ ὑπομονήν, καὶ ἰσχὺν πατῆσαι, τὸ φρύαγμα τοῦ πλάνου, ἡ στέρησιν ὀμμάτων, καθυπομείνασα.

Φῶς τὴν στερηθεῖσαν ἐκ γενετῆς, ὀφθαλμῶν Ματρώναν, εὐφημήσωμεν εὐλαβῶς, ὡς

πνευματοφόρον, ἀσκητριῶν Ῥωσίας, ἀγλάϊσμα τὸ νέον, καὶ σκεῦος χάριτος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντων, ἐν ἐσχάτοις τοῖς καιροῖς, κεκλεισμένων Μῆτερ ἐχόντων, τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, καὶ αὐτῆς συμφέροντα, Ματρώνα πάνσεμνε, παρορόντων διάνοιξον, καὶ δεῖξον τὴν τρίβον, πρὸς ζωὴν ἀπάγουσαν, τὴν αἰωνίζουσαν, τοῖς εἰλικρινῶς σε τιμῶσιν, ὡς Ῥωσίδος πάνσεπτον γόνον, καὶ ταμεῖον χάριτος ἀκένωτον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

